τὰ δὲ ταῖς ἄλλαις διαφοραῖς κεχρῆσθαι, ὥσπερ ἡ χείρ, ἡ πούς. ληπτέα οὖν τὰ γένη τῶν διαφορῶν. αὗται γὰρ ἀρχαὶ ἔσονται τοῦ εἶναι· οἷον τὰ τῷ μᾶλλον καὶ ἧττον, ἢ πυκνῷ καὶ μανῷ, καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις. πάντα γὰρ ταῦτα ὑπεροχὴ καὶ ἔλλειψίς ἐστιν. εἰ δέ τι σχήματι ἢ λειότητι καὶ τραχύτητι, πάντα εὐθεῖ καὶ καμπύλῳ. τοῖς δὲ τὸ εἶναι, τὸ μεμῖχθαι ἔσται· ἀντικειμένως δὲ, τὸ μὴ εἶναι. φανερὸν δὲ ἐκ τούτων, ὅτι εἴπερ ἡ οὐσία αἰτία τοῦ εἶναι ἕκαστον, ὅτι ἐν τούτοις ζητητέον, τί τὸ αἴτιον τοῦ εἶναι τούτων ἕκαστον. οὐσία μὲν οὖν οὐδὲν τούτων, οὐδὲ συνδυαζόμενον· ὅμως δὲ τὸ ἀνάλογον ἐν ἑκάστῳ. καὶ ὡς ἐν ταῖς οὐσίαις τὸ τῆς ὕλης κατηγορούμενον, αὐτὴ ἡ ἐνέργεια καὶ ἐν τοῖς ἄλλοις ὁρισμοῖς μάλιστα· οἷον εἰ οὐδὸν δέοι ὁρίσασθαι, ξύλον ἢ λίθον ὡδὶ κείμενον, ἐροῦμεν· καὶ οἰκίαν, πλίνθους καὶ ξύλα ὡδὶ κείμενα. (ἢ ἔτι καὶ τὸ οὗ ἕνεκα ἐπ' ἐνίων ἐστίν.) εἰ δὲ κρύσταλλον, ὕδωρ πεπηγὸς ἢ πεπυκνωμένον ὡδί. συμφωνία δὲ ὀξέος καὶ βαρέος μῖξις τοιαδί. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων. φανερὸν δὴ ἐκ τούτων, ὅτι ἡ ἐνέργεια ἄλλη ἄλλης ὕλης, καὶ ὁ λόγος. τῶν μὲν γὰρ ἡ σύνθεσις, τῶν δ' ἡ μῖξις, τῶν δὲ ἄλλο τι τῶν εἰρημένων. διὸ τῶν ὁριζομένων, οἱ μὲν λέγοντες τί ἐστιν οἰκία, ὅτι λίθοι, πλίνθοι, ξύλα, τὴν δυνάμει οἰκίαν λέγουσιν· ὕλη γὰρ ταῦτα. οἱ δὲ ἀγγεῖον σκεπαστικὸν χρημάτων καὶ σωμάτων, ἤ τι καὶ ἄλλο τοιοῦτο προσθέντες, τὴν ἐνέργειαν λέγουσιν. οἱ δ' ἄμφω ταῦτα τιθέντες τὴν τρίτην, καὶ τὴν ἐκ τούτων οὐσίαν. ἔοικε γὰρ ὁ μὲν διὰ τῶν διαφορῶν λόγος, τοῦ εἴδους, καὶ τῆς ἐνεργείας εἶναι· ὁ δ' ἐκ τῶν ἐνυπαρχόντων, τῆς ὕλης μᾶλλον. ὁμοίως δὲ καὶ οἷς Ἀρχύτας ἀπεδέχετο ὅρους· τοῦ συνάμφω γάρ εἰσιν· οἷον, τί ἐστι νηνεμία; ἠρεμία ἐν πλήθει ἀέρος. ὕλη μὲν ὁ ἀήρ, ἐνέργεια δὲ καὶ οὐσία ἡ ἠρεμία. τί ἐστι γαλήνη, ὁμαλότης θαλάττης. τὸ μὲν ὑποκείμενον ὡς ὕλη, ἡ θάλαττα· ἡ δὲ ἐνέργεια καὶ ἡ μορφή, ἡ ὁμαλότης. φανερὸν δὲ ἐκ τῶν εἰρημένων τίς ἡ αἰσθητὴ οὐσία ἐστί, καὶ πῶς. ἡ μὲν γὰρ ὡς ὕλη, ἡ δ' ὡς μορφή, ὅτι ἐνέργεια· ἡ δὲ τρίτη, ἐκ τούτων.

### Κεφάλαιον γ.

Δεῖ δὲ μὴ ἀγνοεῖν ὅτι ἐνίοτε λανθάνει, πότερον σημαίνει τὸ ὄνομα τὴν σύνθετον οὐσίαν, ἢ τὴν ἐνέργειαν, καὶ τὴν μορφήν·

A quædam cæteris differentiis vtuntur, sicuti manus, aut pes. Accipienda igitur genera differentiarum: hæc enim principia existentiæ erunt: vt quæ in magis & minus, aut denso & raro, & cæteris talibus. Cuncta etenim hæc, redundantia & defectus sunt. Quòd si quid figura, aut læuitate, aut asperitate, omnia recto, & curuo: his verò esse, erit misceri: opposito autem modo, non esse. Manifestum igitur ex his
B est, quòd si substantia causa est, vt vnumquodque sit, in his quærendum est, quænam vt horum singula sint, causa est. Substantia itaque nihil horum est, neque combinatum: attamen proportionale in vnoquoque: & quemadmodum in substantiis quod de materia prædicatur, ipse actus est, & in aliis definitionibus maximè: vtputa, si limen oportebit definire, lignum, aut lapidem sic positum dicemus: & do-
C mum, lateres, aut ligna sic posita (an etiam & cuius causa in quibusdam est?) si verò glaciem, aquam congelatam, aut sic densatam: consonantia verò est acuti & grauis mistio talis: eodem autem modo & in cæteris. Manifestum itaque ex his est, quòd actus alius alterius materiæ & ratio: quorundam enim, compositio, quorundam mistio, quorundam aliquid aliud eorum, quæ dicta sunt. Quare eorum, qui
D definiunt, hi quidem, qui dicunt, quid est domus, quòd lapides, lateres, ligna, potentia domum dicunt: materia enim hæc sunt. Qui verò, vas conseruatiuum rerum, & corporum, aut aliquid aliud tale addentes, actum dicunt. Qui portò hæc ambo componunt, tertiam, & quæ ex his est, substantiam (videtur etenim ea quidem, quæ ex differentiis ratio fit, speciei, & actus esse: quæ verò ex his, quæ insunt, mate-
E riæ magis) similiter & quas Archytas approbat definitiones: etenim simul vtriusque sunt: vtputa, quid est serenitas? quies in multitudine aeris: materia quidem aer, actus verò, & substantia, quies. Quid est tranquillitas? maris planities. Subiectum quidem, vt materia, mare: actus verò & forma, planities. Manifestum itaque ex dictis est, quænam sensibilis substantia, & quomodo sit: etenim hæc quidem vt ma-
F teria, hæc autem vt forma, quoniam actus: tertia verò ex his.

### CAPVT III.

Oportet autem nõ ignorare, quòd aliquando latet, vtrũ nomen cõpositum substantiã significet, an actum, & formam: